ταῦτα προὐβαλόμην ἐγὼ τῆς βασιλίδος τῶν πόλεων· τούτοις τὴν ἐμὴν Ῥώμην ἐτείχισα· ἐπὶ τούτοις καὶ γέγηθα καὶ τρέφω τι καὶ φρονήματος.» ἀλλὰ γὰρ ʽδεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ θεοῦ, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς ἀνταναιρῶν πολέμους μέχρι᾽ Εὐφράτου καὶ Τίγρητος· δεῦτε καὶ σύνετε ʽκαὶ γνῶτε, ὅτι τὸν ὅσιον αὐτοῦ κύριος ἐθαυμάστωσε᾽. προσεπᾴδει σοι Δαυὶδ καὶ ταῦτα τῷ ἐμῷ βασιλεῖ· ἐχιονώθης ἐν Σελμὼν καὶ οὐκ ἔδωκας ʽεἰς σάλον τὸν πόδα σου᾽ καὶ οὐκ ἐφύλαξεν ʽὁ φυλάσσων σε᾽. προσεπᾴδει καὶ Σολομῶν καὶ ἀποσεμνύνει σου τὸ ἄτρυτον καὶ φιλόπονον· ʽἡ κεφαλή᾽ σου ʽἐπλήσθη δρόσου καὶ οἱ βόστρυχοί᾽ σου ʽψεκάδων νυκτός᾽.

Σὺ γὰρ καὶ τὸν καύσωνα τῆς ἡμέρας ἐβάσταξας, σὺ καὶ νιφετοῖς παραβαλλόμενος οὐκ ἀπέκαμες, καὶ βέλη ἐπὶ βέλεσιν ἔφερες, τὰς ἀπ᾽ οὐρανοῦ νιφάδας τοῖς ἐκ τῶν πολεμίων τοξεύμασιν· καὶ ὡς ἡδέως ὑπὲρ τῆς Χριστοῦ ποίμνης ἤνεγκας καὶ καιρὸν φλέγοντα καὶ ὥραν χειμαίνουσαν.

Ἐγώ σε καὶ Ἀὼδ ἀμφιδεξιώτερον ἀποφαίνομαι· μόνον ἐκεῖνος ἕνα τύραννον Μωαβίτην ἀπέκοψε, σὲ δ᾽ ἀνέστησε κύριος, καὶ ἡμᾶς, τὸν αὐτοῦ κλῆρον, δι᾽ ἁμαρτιῶν ἐρριμμένους ἐπὶ γῆς ξυνανέστησε. καὶ σὺ πολλοὺς καθεῖλες δυνάστας καὶ ἐπὶ πολλῶν κεφαλὰς ἀνόμων ἔβαλες θάνατον. ἐκπεπόρθηταί σοι καὶ ὅσον Ἀσσύριον βάρβαρον, καὶ Δαυὶδ ἐγώ σε τοῦτο τὸ μέρος τίθεμαι· ὡδήγησας μὲν ἡμᾶς ἐπὶ γῆν τὴν μακαρίαν, τὴν ἐπηγγελμένην, καὶ οὐδ᾽ ἐνταῦθα Μωσέως ἀποφέρῃ τὰ δεύτερα. εἰς τοῦτον ἐγώ σε περιιστῶ τὸν κατάλογον· μετὰ Ἀὼδ περικροτῶ μετὰ Δαυὶδ προσκυνῶ μετὰ Μωσέως σεβάζομαι· τηλικούτοις σε τοῖς θαυμασίοις θεὸς ἐστεφάνωσεν. ἐπὶ τούτοις καὶ πᾶς ὁ οἶκος Ἰακὼβ ἐπεκρότησε καὶ ἦχος ἑορταζόντων ἁπανταχοῦ καὶ εὐφροσύνη ἐπὶ τοῦ ὀνόματός σου καὶ ἀγαλλίασις.

Ἀλλ᾽ ἦν ἄρα ἡ μεγαλόπολις ἡ Ἀντιόχεια θερμή τις ἀρχῆθεν, ὡς ἔοικεν, **36**
εἰς εὐσέβειαν καὶ πολὺν τὸν εἰς Χριστὸν ἔρωτα σῴζουσα. καὶ τότε μοι ὑπὲρ τὰς ἄλλας ἁπάσας τῶν πόλεων τὸν ἀληθῆ καὶ θεὸν καὶ βασιλέα Χριστὸν ἐτίμησεν ἄρτι τοῖς ψευδωνύμοις θεοῖς τε καὶ ἀποστάταις δαίμοσιν οὐρανόθεν ἐπιστρατεύοντα· οἷς πρώτη τῶν ἄλλων, ὡς βασίλειόν τι διάσημον καὶ ὡς σφραγῖδα πολύτιμον, τὴν χριστωνυμίαν ἐδέξατο· καὶ νῦν δὲ τὰ αὐτὰ τολμᾷ, τῆς αὐτῆς θερμότητος ἔχεται καὶ ἐπὶ τὸν φιλόχριστον βασιλέα, τὸν ὡς ἥλιον πυραυγῆ ταῖς ἐκ τῶν βασιλείων ὅπλων ἀποπαλλομέ-